ἀπὸ πάσης σαρκὸς οὐκ εἴληφα·
καὶ οὐκ ἐνεκάλεσεν αὐτῷ ἄνθρωπος.
20 καὶ μετὰ τὸ ὑπνῶσαι αὐτὸν προεφήτευσεν
καὶ ὑπέδειξεν βασιλεῖ τὴν τελευτὴν αὐτοῦ
καὶ ἀνύψωσεν ἐκ γῆς τὴν φωνὴν αὐτοῦ
ἐν προφητείᾳ ἐξαλεῖψαι ἀνομίαν λαοῦ.
47 1 Καὶ μετὰ τοῦτον ἀνέστη Ναθαν
προφητεύειν ἐν ἡμέραις Δαυιδ.
2 ὥσπερ στέαρ ἀφωρισμένον ἀπὸ σωτηρίου,
οὕτως Δαυιδ ἀπὸ τῶν υἱῶν Ισραηλ.
3 ἐν λέουσιν ἔπαιξεν ὡς ἐν ἐρίφοις
καὶ ἐν ἄρκοις ὡς ἐν ἄρνασι προβάτων.
4 ἐν νεότητι αὐτοῦ οὐχὶ ἀπέκτεινεν γίγαντα
καὶ ἐξῆρεν ὀνειδισμὸν ἐκ λαοῦ
ἐν τῷ ἐπᾶραι χεῖρα ἐν λίθῳ σφενδόνης
καὶ καταβαλεῖν γαυρίαμα τοῦ Γολιαθ;
5 ἐπεκαλέσατο γὰρ κύριον τὸν ὕψιστον,
καὶ ἔδωκεν ἐν τῇ δεξιᾷ αὐτοῦ κράτος
ἐξᾶραι ἄνθρωπον δυνατὸν ἐν πολέμῳ
ἀνυψῶσαι κέρας λαοῦ αὐτοῦ.
6 οὕτως ἐν μυριάσιν ἐδόξασαν αὐτὸν
καὶ ᾔνεσαν αὐτὸν ἐν εὐλογίαις κυρίου
ἐν τῷ φέρεσθαι αὐτῷ διάδημα δόξης·
7 ἐξέτριψεν γὰρ ἐχθροὺς κυκλόθεν
καὶ ἐξουδένωσεν Φυλιστιιμ τοὺς ὑπεναντίους,
ἕως σήμερον συνέτριψεν αὐτῶν κέρας.
8 ἐν παντὶ ἔργῳ αὐτοῦ ἔδωκεν ἐξομολόγησιν
ἁγίῳ ὑψίστῳ ῥήματι δόξης·
ἐν πάσῃ καρδίᾳ αὐτοῦ ὕμνησεν
καὶ ἠγάπησεν τὸν ποιήσαντα αὐτόν.
9 καὶ ἔστησεν ψαλτῳδοὺς κατέναντι τοῦ θυσιαστηρίου
καὶ ἐξ ἤχους αὐτῶν γλυκαίνειν μέλη·
10 ἔδωκεν ἐν ἑορταῖς εὐπρέπειαν
καὶ ἐκόσμησεν καιροὺς μέχρι συντελείας
ἐν τῷ αἰνεῖν αὐτοὺς τὸ ἅγιον ὄνομα αὐτοῦ

$19^{4}$ ειληφεν B^c S^c† || $20^{1}$ επροφ. SA | $20^{2}$ και > S*† | $20^{3}$ την > A† | $20^{4}$ προφητειαις S† | εξαλ⟨ε⟩ιψει S†
47 $2^{2}$ των > SA || $3^{1}$ επαιζεν B*A(ε pro αι)† || $4^{3}$ χειρας A | $4^{4}$ κατεβαλεν S || $5^{3}$ δυν. > B*† | $5^{4}$ ανυψωσει B† || $6^{1}$ εδοξασαν Sm. (cf. Regn. I 18 7)] -σεν mss. | $6^{2}$ ηνεσαν S^c compl.] -σεν BS*(ηρεσεν †)A || $7^{1}$ εχθρ.] + σου S*† || $8^{2}$ υψιστου S† | $8^{3}$ υμνησιν S† || $9^{1}$ ψαλμωδους S: cf. 50 18 | του > SA | $9^{2}$ ηχου B^c || $10^{1}$ εν > S | $10^{3}$ αυτου] σου S†